
ΕΣΤΙΑΣ



ΕΝ ΛΙΨΙΑΙ
ΕΚ ΤΟΥ ΤΕΥΒΝΗΡΟΣ ΤΥΠΟΓΡΑΦΕΙΟΥ
1899.

Τὰ τοῦ δράματος πρόσωπα·

Ἀρχιερεύς.	*Καῖσαρ.*
Ἑστιάς.	*Ἄγγελος.*
Χορός.	

Ἡ σκηνὴ ἐν Νικομηδείᾳ.

ΒΟΝΟΤΕΝΤΟΥΡΑΣ ΓΡΑΣΙΝΙΟΣ.

Ἀρχιερεύς.

Ἱδρύματ᾽ ἄρτι τοῦ νεὼ κατεσκάφη
βωμοί τ᾽ ἔθραυσθεν κἀν πυροῖσι μυστικαί
ὤλοντο βίβλοι· πανταχοῦ δὲ φθέγγεται
τὸ δόγμα κήρυξ ἐκπεπληγμένῳ λεῷ
τὸ μισόχριστον· ὅστις ἂν μὴ προσκύσῃ
θεοὺς πατρῴους τῆσδε γῆς θεμισκόπους
ἀνάξιον τῆς ἐκ θεῶν σωτηρίας
τοῦτον τὸν ἄνδρα Καίσαρός τε καὶ θεῶν
ἐχθρόν τ᾽ ἔσεσθαι κἀσεβῆ βίον τελεῖν.
ἐπεὶ δὲ πρᾷός ἐστι καὶ φόνους στυγεῖ
ἑλὼν με Καῖσαρ εἰς νεὼν βάλλει Διός
πρὸς τόνδε βωμόν, ὡς θεῷ θύσω Διΐ.
πειθώ τ᾽ ἀρίστην ηὗρε πρὸς τοὺς δυσμαθεῖς·
εἰ γάρ τις ἁγνὸν θῦμα μυσταγωγὸς ὢν
θεοκλυτούσῃ Χριστὸν ἐν πανηγύρει
θύων ἐγήρα πιστός· εἶτα δ᾽ ἂν σφαλείς
εἴδωλα κωφὰ καὶ βρέτη γέρων σέβῃ,
πειστὴρ ἄριστός ἐστι λειποταξίας.
ἵληθι· Χρίσθ᾽· ἵληθι, μὴ διδάσκαλος
ἐγὼ γένωμαι δειλίας· στερρῷ μένει
γέροντα τόνδε ῥῶσον, ὥς σοι μαρτυρῶ.
ἤδη θεωρῶν δημοτῶν βάσιν κλύω·
ἵληθι· Χρίσθ᾽· ἵληθι, μὴ δειλὸς φανῶ.

*
* *

Χορός.

Τοῦτόν σε βλέπω
πρὸ Διὸς βωμῶν,
ἱερεῦ Χριστοῦ
λαοῦ τε βραβεῦ.
οὕτω φάτις οὐκ
ἀδίκως κομπεῖ
πρόπολόν σε Διός
βρέτεσιν θύειν.
ἆ δειλέ· τί δρᾷς;
μύσος ἐστί, γέρων.

Ἀρχιερεύς.

Ψόγοις πικροῖσι κερτομεῖτ' ἀναίτιον·
οὐ θῦσα τῇδε· μαρτυρείτω μοι Θεός.

Χορός.

Ἀπατήλιά γ' οὖν
φήμη βάζει
Χριστοῦ προδότην σε καλοῦσα·
σύγγνωθι χόλον
τοῖς οἰστροδόνοις
βαρέων τε λόγων ἐπιλήθου.
κεντούμεθα γὰρ
σκυλάκων οἴστροις
καὶ σπεύδομεν ἄλλυδις ἄλλῃ·
ὡς θῆρας ὁρῶν
θηρῶσιν ἀγρεῖς
ἡμῶν θεομάρτυρα δῆμον.

Ἀρχιερεύς.

Θεοῦ μαχηταῖς καρτεροῖς εἶναι πρέπει.

Χορός.

Ἔπεσον βωμοί,
ὁ λεὼς ἐδάμη,
ἀτὰρ οὐκ ἐδακρύσαμεν· ἴσθι·
βρετέων δ' ἱκέτην
σέγε πευθόμενοι
βαρέως ᾠμώξαμεν ἄλγει.

Ἀρχιερεύς.

Ἄκοντά μ' ἐνθάδ' ἦγον ἐν χειρὸς νόμῳ,
ἑκόντα δ' ἔμπας τοῖς θεοῖς θυηπόλον
ἔχειν ἐκόμπουν χἀτέροις διδάσκαλον·
ἐξηπάτων τε δῆμον αἰσύλοις λόγοις.
ἐοίκασιν δὴ τοῦ σκοποῦ πάντως τυχεῖν·
ἤδη γὰρ ἐνθάδ' εἰς Διὸς σηκώματα
ἤθροισαν ὑμῶν ἄνθος· ὦ Χριστοῦ φίλοι.
οὔπω συνίετ' αἰσχρομήτιδας δόλους;
δαρὸν τὸ διφᾶν καὶ κατ' ἄνδρ' ἰχνηλατεῖν
ἕκαστον εἶτα δεῦρ' ἀποστέλλειν βίᾳ,
οἰστρᾶν δὲ ῥᾷον οἰστροδινήτους τ' ἄγειν.
οὕτω τ' ἔπραξαν καὶ προσήγαγον Διΐ
πρὸς θυμίαμα τὸν λεὼν αὐτόρρυτον.
καὶ μὴ νομίζετ' ἐκτὸς ἔνθεν ἐκδραμεῖν
μὴ προσκύσαντες· πάντοθεν φυλάκτορες
ὁπλοκτυποῦντες ἀμπέχουσιν ἐξόδους,
αὐτὸς δὲ Καῖσαρ εὐθέως ἀφίξεται
θύειν ἀνώξων δυσλόφους δ' ἀποφθερῶν.

Χορός.

Ὀτοτοτοῖ· παγίδας εἰσβιασάμαν θανασίμους·
ἀφραδέως ἐνέθορον περιβόλοισιν ὀλέθρου·

ἀλλ᾽ ὅμως οὐ τρέσω μαρτυρῶν τῷ Θεῷ,
τὸν Θεὸν προσκαλῶν ἀνδρικῶς φθέγξομαι·
ζῇ μέγας μου Θεός·
ἄμβροτος ζῇ Θεός.

Μάκαρες οἱ παλαιγενεῖς· θεότυπον φύσιν
οὐκ ἀπεστέροντό πως παραλόγοις νόμοις,
ἀλλὰ δημόθεν κατῆγον
μυστικὰς θεοῖς χορείας
παννύχοισί τ᾽ ὀργιασμοῖς
ποικιλανθέσιν θ᾽ ἑορταῖς
πρὸς τὰ θεῖα νοῦν ἐπῆρον,
ἔνθεος δὲ διθύραμβος
ψυχαγωγὸς ἦν.

Προπατόρων φίλων γένη κατέθανεν πάλαι,
ἔκτοποι γένοντο δὴν χαρίσιοι χοροί
σύν τε Μοῦσ᾽ ἀοιδὸς ἔρρει
οὐρανοῖσι προσπαθοῦσα
ὀρφανόν τε συμμαράνθη
ἱμερῶδες ἄνθος ὕμνων
πᾶσά τ᾽ οἴχεται θάλεια,
πᾶν κέαρ κρύει θυελλῶν
χειμάδων φθίνει.

Ναῶν παλαί᾽ ἀγάλματα
ἀρχαίας χλιδᾶς ἄμβροτα λείψανα
ἦτορ ἐμὸν παραθέλγει·
οὐ μισῶ πατέρων ἔνθεα μνήματα
οὐδὲ θεοὺς πατέρων· νοῦν γὰρ ἐπισκοπῶ·
ἦν δὲ θεουδὴς νοῦς, ὃς πλάσε τοῖα.

Ἐνθουσιῶσα μυστικοῖς
ἀρρήτων πόθοις ἡ πατέρων φύσις

ἤρετο καὶ θεοπλάστει·
οὐ μὲν βαίτυλος ἦν πατράσι τὸ βρέτας
ἀλλ' ἀνάθημα δοθὲν πνευματικοῖς θεοῖς
πνεῦμά τε πᾶς θεὸς ἦν οὐ λίθος αὐτοῖς.

Νῦν δ' ἴσως βαρβάρων βαρβαρωτάτοις
οὐ θεοὺς μὲν προσκυνοῦσιν ἀλλὰ βαιτύλους
βουφόνοι τε δαιταλεῖς τε συγκροτοῦσι τοὺς χορούς,
θυρσοπλήγων δ' ἀντίμιμοι προστατοῦσιν ὀργίων
μητραγυρταὶ καὶ βάκηλοι κἀγέλαι συνήλυδες,
συντελεῖ δὲ πᾶς ὅμιλος, μισόκαισαρ μὴ φανῇ,
καὶ δοκεῖ πατρῷ' ἑαυτῷ δευτεροῦν μυστήρια,
ἀντακούει δ' ἐχθρόπατρις, ὅστις ἂν μὴ συντρέχῃ.

Ὥς τ' ἐγὼ δύσθεος κἀσεβὴς κλύω
οὔτε τοίας δαῖτας αἰνῶν οὔτ' ἀναισχύντους χορούς·
οὐ φιλῶ χοροὺς παρῳδούς· ἐχθρά μοι ψευδόργια
τῶν ἀναισθήτων κυβήβων· βαιτύλους ἀποπτύω·
ἀλλ' ὅμως οὔκ εἰμι πάντως πρὸς τὰ θεῖα δυσσεβής,
οὐδὲ πατρῴων γελαστὴς ἐνθέων μυστηρίων,
ψευδαγυρτῶν παννυχισμοῖς εἰ νόθοις ἐπάχθομαι,
ἐγκαλοῦμαι δ' ἐχθρόπατρις, κεἰ στυγῶ τὰ βάρβαρα.

Ἔκγονος τεθνηκότων
ὑμῶν προκαλῶ
τὴν ἐπίπνοιαν
πρὸς τελετὰς ἐμάς
πρὸς μυστήριά μου,
προπατόρων γενεαί.

Σεμνοθέσμοις δόγμασιν
παιᾶν' ἰάχων
τῷδ' ἔνι ναῷ,
ὦνα, σέγ' ᾄσομαι·

δεινὸς ἐτήτυμος ὢν
ὁλοτελὴς σὺ πέλεις.

Τῷ Κοσμήτορι μέλπετε δόξαν,
Οὐρανίωνες·
ὕμνον ψάλλετε τῷ Μεγακυδεῖ,
πνεύματα πάντα.

Πάνδοχος εἶ, μέγιστε Νοῦ,
καὶ παναίτιος ὢν κρατεῖς,
αὐτὸς δ' οὐδενὸς ἥσσων·
ἀμφιχέῃ δὲ τοὺς βυθούς
τούς τ' αἰῶνας ὑπερκερᾷς
πληθύνων ἐν ἀβύσσοις.

Τοῦ Πατέρος σύνεδρος ὢν
σταθμᾷς, ὦ Λόγε, καὶ νέμεις
κἀνάσσεις ὁμοκλήρως·
ἔμπνοος ἐκ Πατρὸς πέλων,
ζῶν καὶ ζώπυρος εἶ, Πατρί
ταὐτὸ Πνεῦμα πορεύων.

Πάγκρατορ ὦ Πάτερ, ἔμπνους εἶ·
ἔμπνους εἶ, Λόγ, ὁμαρτῇ.
Πνεῦμα Θεοῦ, σὺ δ' ἄρ' ἔλλογον εἶ
καὶ Νοῦς σοι συνυπάρχει.

Ἔκθορον Οὐρανίωνες
καὶ νόες ἔκ σεθεν ἡμῶν·
τἆλλά τε πνεύματα κόσμων
ἔκ σεθεν ἤρξατο πάντα,
ὄντος ἀνάρχου.

Ζῷον ἅπαν τε πρόβλημα,
ἔκ σεθεν ἄστρα φαεινά,

ἔκ σεθεν ἔκθορεν ὕλη,
πᾶν σεθεν ἔκθορεν εἶδος,
ὄντος ἀνειδοῦς·
Ἔπνευσε Κρέων, ζωὴ δ' ἐχύθη·
ῥῆμ' εἶπεν Ἄναξ, ἐφάνη δ' ὕλη.

* * *

Ἀρχιερεύς.

Ὁρῶ γυναῖκα προσπελῶσαν ἐνθάδε·
σεμνοπρόσωπος ἠμφιεσμένη στολήν
νύμφης θεουργοῦ παρθένος πέλειν δοκεῖ,
οἵας ἑώρων Ἑστίας θυηπόλους
Ῥώμης ἐν ἄστει· Καῖσαρ, ὦ Καῖσαρ, τρυφᾶς
θέλγητρον ἡμῖν τοῖον εἰσηγούμενος.

Ἑστιάς.

Οὔ φημι χαίρειν πανταχῇ λυπούμενον
ὁρῶσ' ἕκαστον, εὖ φρονεῖν δ' ὑμᾶς λέγω.

Ἀρχιερεύς.

Σὺ δ' ἀντίχαιρε, παρθέν', εἰπὲ δ' ἄντικρυς,
ὡς ἦλθες ἡμῖν Καίσαρος δι' ἐντολάς.

Ἑστιάς.

Οὐ μήν με Καῖσαρ δεῦρο πέμψεν, ὦ γέρων,
οὐδ' ἄλλος οὐδείς· αὐτόκλητος ἔρχομαι.

Ἀρχιερεύς.

Οὐκ οἶδα νύμφας Ἑστίας ἐν τῇ πόλει.

Ἑστιάς.

Ῥώμηθεν ἐνθάδ' εὔξενος Καῖσάρ μ' ἑλὼν
ἅβραν θυγατρὶ δῶκεν, ἣν ἔχει μόνην.

Ἀρχιερεύς.

Ἔξωθεν ἤκουσ' ἀγνοεῖν ἡμᾶς δοκεῖς·
ἡμεῖς γ' ἀραῖός ἐσμεν, ὦ κόρη, λεώς.

Ἑστιάς.

τῶν χριστιανῶν· μῶν ἁμαρτάνω, γέρων;

Ἀρχιερεύς.

Ὀρθῶς ἔλεξας· πάντοθέν θ' ὑβρισμένοι.

Ἑστιάς.

Ἤκουσα πολλοὺς ἐν παλατίῳ λόγους
τὸ πλεῖστον ἐχθροὺς ἀλλὰ καὶ φίλους τινάς
ὑμῖν τ' ἀρωγοὺς περὶ νέων Χριστοῦ νόμων.

Ἀρχιερεύς.

Πολὺς διώκει, παρθέν', ἐξ ἀρχῆς φθόνος
τοὺς χριστιανούς. ὣς τὸ πρίν γ' ἐκερτόμουν
ἡμᾶς Θυέστου δαισί, νῦν δὲ δέκτορας
πάσης καλοῦσι δειλίας πάσης τ' ἀρᾶς.
ἀλλ' ἧκας ὡς θύσουσα· θῦσον οὖν, κόρη·
οὐκ ἐμποδὼν οὐδείς γε, κεἰ διχοστατεῖ.

Ἑστιάς.

Ἆρ' εἰσὶν ὑμῖν παρθένοι θυηπόλοι;

Ἀρχιερεύς.

Οὐκ εἰσὶ δῆτα· τραχὺ γὰρ τὸ προστατεῖν

Ἑστιάς.

χἀβρὸν τὸ θῆλυ· πῶς ἂν ἀρκέσαι γυνή;

Ἀρχιερεύς.

Κόραι δ' ἄρ' ἡμῖν εἰσίν· αἱ διάκονοι

Ἑστιάς.

δμωαὶ γυναῖκες· ἡδὺ γὰρ τὸ προσπολεῖν.

Ἀρχιερεύς.

Γυναικὶ δὴ προσῆκον, ὦ κόρη, πάνυ.

Φεῦ φεῦ· τί ποιεῖς; θῦμ' ἐπ' ἐσχάρας τίθης
οἶνόν τε κἄρτον· ἆρα μὴ μυστήρια
ἡμῶν παρῳδεῖς; μὴ παρασχόλει, γύναι,
θῦσον καθὼς εἴωθας ἐν Διὸς νεῷ.

Ἑστιάς.

Ἔδωκ' ἐμαυτὰν ἱρὰν δωρεάν
σεμνᾶς Ἑστίας παναγέσιν δόμοις
πρόφρονι θυμῷ·
χαρᾷ δ' ἔτρεον περιεννυμένα
Ἑστιάδος κόρας λευκοβαφῆ στολάν
ὤμοσά θ' ὅρκον,
μὴ τριάκοντ' ἔτη σώσειν παρθένος
τοὺς ἱεροὺς νόμους, ἀλλὰ μέχρι ζοάν
ὄμμ' ἐμὸν αἴθοι.

Νεβρὸς μὲν ἦν, ὡς ἁγνεύσειν ἔφαν
θρησκεύουσα τὰν παρθενικὰν θεόν
ὡς ἱέρεια·
γυνὰ δ' ἐμμένω γηθόσυνος νόμοις
καίτοι σκεψάμαν καὶ πυθόμαν, ἃ μὴ
εἶδον ἀχρεῖα.
κήδου, Πότνια Ζώπυρι, σᾶς κόρας
καὶ κέαρ ἄλκιμον καὶ σοφίαν δίδου,
μὴ παραπαίω,

Δεινὰ δρῶσ' ὡς γυνά,
Πότνι', ἀρῶμαι,
μὴ σφαλῶ, μὴ τρέμω
πρὶν τετελέσθαι.

Χορός.

Ἠκούσαθ' ἑταῖροι,
ἠκούσατε τοὖπος;
δεινὰ δρᾶν κατεύχεται.
ὁρᾶτε πρόσωπον
τᾶς δαιμονολήπτου·
μάντις οὖσα μαίνεται.

Ἑστιάς.

Ἁγνᾶς Ἑστίας πρὸς θρόνοις
ἄγρυπνος κύων ἀϊδίου πυρός
πόλλ' ἀνερεύνων,
εἰ πόθος ὃν πνέω,
εἰ κενός ἐστ' ἔρως,
ὃς φρένας ἐμφλέγει
αἰθαλοέσσας.
ἀλλὰ κωφὸς ἦν ὁ ναός
καὶ μέλαινα νὺξ ἐσίγα
καὶ φάος σήμαινε χλωρόν
φλὸξ ἐπ' ἐσχάρας.

Φλεγμαίνουσα φρὴν τᾶς κόρας
ψυχρᾶν εὐφρονᾶν οὐχ ἐπάγη δρόσοις
ὡς καταβρίζειν·
γᾶς δ' ἔπι κειμένα
ἔτρεον ηὐχόμαν
κἄρδετο δακρύων

λάϊνον οὖδας·
ἥλιον δὲ προυκαλούμαν,
ἡμέρας ὡς φέγγος ἔλθοι·
ἥλιός μου δάκρυ' εἶδε
κῴχεται πιών.

Χορός.

Οἷον ἄλγος τᾶς κόρας,
ὡς μινύρεται·
εὐτυχοῦμεν ἄθλιοι,
ἥδε δυστυχεῖ.

Ἀρχιερεύς.

Τᾶς κόρας γόοις
κῆρ δεδηγμένος
χρησμὸν ἀνοίσω
τᾶς Θεομήτορος,
τόνπερ ἔχρησεν
ἐν Κάνναις Γαλιλαίων,
ἔνθα ποθ' εἱστιᾶτ'
ἠπιόφρων Κόρα
δαῖτα γαμηλίαν·
Οἶνον οὐκ ἔχουσιν.

Ἑστιάς.

Συνῆκα, γέρων·
οἶνον οὐκ ἔχουσα
δάκρυσιν ἁλμυροῖς
νυμφίον εἱστίων,

Ἰδοῦ· προφέρω
νῦν ὃν εἶπες οἶνον·

τούτῳ γ' ἀθλία
νυμφίον εὐφρανῶ.

Ἀρχιερεύς.

Ἄλλος ἐστὶ νοῦς
ῥημάτων, κόρα·
ἡ Θεοκύμων
προσχαριουμένη
τοῖς ὑμεναίοις
ἀγλαίαν Χαρίτων σφῶν
οἰνοδοτεῖ γάμους·
ἐλπίζειν ἐρᾶν
πιστεύειν σε χρή·
φῶς, κόρα, πρόσεισιν.

Ἑστιάς.

Πόρισόν μοι, Θεομήτωρ,
Χαρίτων σῶν γλυκὺν οἶνον,
ὃν ἔδωκας γαμέταισιν·
πόρε Πειθοῦς πινυτῆτα
κρατερὰν Ἐλπίδος ἰσχύν
Ἐρατοῦς καῦμα χλιδώσης,
ἵνα σοι προσπελάσω.

Ἱερηΐς σεθεν εἴην
σοφίαν οἰνοχοοῦσα
θεοδούλοις θιάσοισιν·
προσιδοῦ τήνδ' ἱέρειαν,
ἀρετὴν δὸς θρασυεργόν,
ἵνα νικῶ τὸν ἀγῶνα·
ἐλέησόν με· Κόρη.

Ἀρχιερεύς.

Ταῖς εὐχαῖς πρόφρων
κἀγὼ προσκυρῶ
καὶ γουνάζομαι
παναγίαν Κόραν
νῦν ἐπαρήγειν.
Ἤδη Καίσαρος
θοῦρον ὁρῶ δέμας·
Πότνι᾽, ἄμυνέ μοι
παντί τε σῷ λεῷ·
Πότνι᾽, ἄρηγε.

* * *

Καῖσαρ.

Οὕτω τὰ μίση πτῆξεν ὑπὸ Διὸς πτερά·
κακῶς δ᾽ ἂν ἐξώλεσθε μὴ πεπεισμένοι.
πῶς· καὶ σύ, τέκνον, ἧκας; οὐ μὴν ἄξιος
πανοῦργος ὄχλος τῆς πέλει θεωρίδος.
οὐ δ᾽ ἐγκαλῶ σοι τοῦτο· μὴ δ᾽ ἄρ᾽ ἀμπλακοῖς
σκοποῦ θέλουσα κνώδαλ᾽ ἐπὶ θεοὺς τρέπειν.

Ἑστιάς.

Ἴληθι, Καῖσαρ, τοῖσδε τοῖς οἰστρηλάτοις.

Καῖσαρ.

Οἰστρηλατεῖται θρέμμα, μὴ χλιδᾷ ποτε.

Ἑστιάς.

Ἴληθι, Καῖσαρ· θηρσὶν οὐκ ἐοίκασιν.

Καῖσαρ.

Πρᾷον πρόσωπον ἠπάτησε πολλάκις·
ἀεὶ φανῆναι νήπιος φιλεῖ δόλος.

οὕτως ἐγὼ τὸ πρῶτον ἠπατημένος
λοιμοῦ μὲν ἠμέλησα, νῦν δὲ δάκνομαι
ταρβῶ τε λεύσσων τὴν πολιτείας φθοράν.

Ἑστιάς.

Μῶν χριστιανοὶ πραγμάτων εἰσὶν φθορεῖς;
δίκαιος ἴσθι, Καῖσαρ· οὐ μὴν αἴτιοι.

Καῖσαρ.

Ὅτι κλονεῖται πάντα καὶ κενοὶ νεώ,
θεοὶ γελῶνται καὶ θεῶν διάκονοι,
σύγ᾽ ᾔνεσας ταῦτ᾽; ὦ γύναι, μή μ᾽ ὀργίσῃς·
μᾶλλον δὲ δεῖξον, πῶς σέβειν χρὴ τοὺς θεούς
καὶ τοὺς σεβαστούς, ἵνα πόλις καλῶς ἔχῃ.

Ἑστιάς.

Τάλαιν᾽ ἔγωγε· τοὔπος αἰνὸν πῶς λέγω,
ὃ κρύψα δειλὴ πρὸς θρόνους ἀφιγμένη
τοὺς Καισαρείους· χριστιανὴ᾽ γὼ πέλω·
Καῖσαρ· κλύεις μου; χριστιανὴν τήνδ᾽ ὁρᾷς.

Χορός.

Ὦ ἐλέησον, Καῖσαρ,
παρθένον· ὦ ἐλέησον.

Καῖσαρ.

Σιγᾶτ᾽, ὀνείδη, μὴ μανεὶς ὑπερζέω.
ὦ Ζεῦ μέγιστε καὶ θεοὶ πατρῷοι·
οὕτως ἔχιδναν εἰς δόμους ἐδεξάμην
οἴκοις ἐμοῖσι πρὸς φθορὰν κἀνατροπήν.
ἔψευσεν αἴσχισθ᾽, ὡς θύγατρά μου φιλεῖ
ἐκ παιδὸς ἤδη καὶ πόθῳ μαραίνεται,

ἐγὼ δ' ἐπείσθην καί σφ' ἐπεμψάμην θέλων
πῦρ Ἑστίας πρὸς δῶμα καὶ κόρην ἄγειν.
τίσεις γε, τίσεις· μυῖα· σοὺς κακοὺς δόλους
διδοῦσα ποινάς, ὥσπερ ἐξαιτεῖ νόμος.
σποῦ νῦν ἄφαρ μοι, μὴ μιαίνηται νεώς.
ὑμεῖς μενεῖθ', ἕως ἂν ἄψορρος φανῶ.

Χορός.

Ὀτοτοτοῖ Θεός· ὦ Θεός·
τᾶς νύμφας προμάχου· στεφάνου
θῆλυν ἀγῶνα.

Γόον ἄχους, Θεός· ὦ Θεός·
οὐρανὸν εἰς ἰάχω· προσιδοῦ
σὰν θεράπαιναν.

Ἔστρωσεν δάμαλιν λέων,
ἵραξ εἶλε περιστεράν·
φεῦ φεῦ·
ὀτοτοῖ.

Ἔρρωσ', ἡρωῒ τάλαινα,
ἄτρομος ἴσθι·
οἴσει νικῶσα δράκοντα
ἄμβροτον ἆθλον.

Χαιρήσεις ἐν παραδείσῳ
σὺν Χαρίτεσσιν·
θάρρει· νίκα τὸν ἀγῶνα,
παρθένε, νίκα.

Ἀρχιερεύς.

Ὀτοτοτοῖ τοτοτοῖ· θυμολέαινα κόρα,
προύτρεχες ἡμῶν·

ἦλθες, ἀπέδραμες ἄγνωτος
μάρτυρα δοῦσα σεαυτάν.

Σύγ' ἱέρεια πέλεις, ἀντιάνειρα κόρα,
οὐ θεράπαινα,
οἰνοχοοῦσα χάριν θείαν
λαοῖς χριστοφίλοισιν.

Χορός.

Οἶνον ἑτοίμασας, ὦ κόρα·
κἆρτον ἔθηκας ἐπ' ἐσχάρας,
ὄφρα θύωμεν
πρὶν ἀποθνήσκειν·
ὀτοτοῖ
ὀτοτοῖ.

Ἦ σαυτὰν ὑπερεῖδες,
ἡμᾶς ὡς κορέσειας,
νύμφα τάλαινα
καὶ μεγαλόφρων.

Ἀρχιερεύς.

Παναγία Θεομήτωρ·
ἐν Κάνναις Γαλιλαίας
πρωθιέρεια σύγ' ἦσθα·
ὣς καὶ τὰν ἱέρασον.

Δώρῳ δῶρον ἄμειψαι
καὶ Χάριτας κατάπεμψον·
δάκρυσιν ἁλμυρὸν οἶνον,
Πότνια, νέκταρι κρᾶσον.

Ὦ Λόγε Πατρὸς ἄναρχε·
δέξαι νύμφιον οἶνον

σὰν διὰ Μητέρ' ὑπουργόν
ἄργμα Θεῷ Γενετῆρι.

Χριστὲ κρέων, ἐπίνευσον·
ἐν Κάνναις Γαλιλαίας
ἥγνισας εἰλαπινῶντας
ἡμᾶς θ' ἅγνισον· ὦναξ.

Τρισμέγιστον προσκυνεῖτε τρισπρόσωπον νῦν Θεόν
καὶ τὸν οἶνον τόνδε πίνεθ', ὅνγ' ἔθυσεν ἡ κόρη·
οὐ μὲν ἔστιν αἷμα Χριστοῦ, μυστικὸς δ' ὅμως πέλει·

Σοφίας πίνετ' ἔρωτας, μέλι θ' ἁγνῶν Χαρίτων,
Σοφίας πίνετε θρήνους·
ὦ φίλοι, προσκαρτερεῖν.

Χορός.

Χρίστ' ἄναξ, ἐπίνευσον·
Χρίστ' ἄναξ, ἐλέησον.

Ἀρχιερεύς.

Ὡς μόνον θύσω τὸν ἄρτον, νεῦε Χριστὲ σήμερον,
οὐ θέμις γὰρ θῦμα νύμφας σοί, Κρέων, θύειν πάλιν.
σῶμ' ἐμόν γ' ὅδ' ἄρτος ἐστίν· εἶπες, ὦ Διδάσκαλε.

ἔχετ' ἄρτον ὁμομύσται, καθαρὸν σῶμα Θεοῦ
ὑπὲρ ἡμῶν προθανόντος·
εὐχαριστῶμεν, φίλοι.

Χορός.

Ἅγιος ὦ Θεός
ἅγιος ὄβριμος·
ἐλέησον, Ἄναξ.

Ἅγιος αὐτόφως
ἅγιος ἄμβροτος·
ἐπίνευσον, Ἄναξ.
Εἶ μέγας, ὦ Κρέων·
ἄλκιμος εἶ, Θεός.
Ἐλέησον, Ἄναξ
ἐλέησον. Ἀμήν.

* * *

Ἄγγελος.

Κήρυξ πρὸς ὑμᾶς ἐστάλην ἀναγγελῶν,
ἄνδρες πολῖται, Καίσαρος προστάγματα·
ἅπας ἐνθένδε σῶς ἐς οἰκίαν ἴτω,
ἴστω δὲ δῆμος, ὅτι θεοὺς Καῖσαρ σέβει.
ἦ μήν· κακοῦργος ἡ γυνὴ κἄναγνος ἦν,
ἣν ζῶσαν ἄρτι θάψαν· ἀλλ' ὡς ἐκ τάφου
ἐφθέγξατ· οἶσθα, Καῖσαρ, ἀρχαῖον νόμον
φάος διωκτοῖς Ἑστίας κόρας φέρειν·
μὴ κτεῖνε κείνους, Καῖσαρ· οὗτος ἐστράφη
καὶ τόνδε πέμψεν, ἐκτὸς ὡς ὑμᾶς ἄγω.

Χορός.

Ἐλελεῦ· ἁγία,
στεφάνωμ' ἀνελοῦ·
κρέας ἐστὶ βροτόν,
ψυχὴ ζήσει.
ἤλγεις ἐγοῶ,
θύγατερ Σοφίας·
χάριν ἂν ἐπόθεις
φῶς θ' εὗρέ, κόρα.
Ἀμήν.